Novum Testamentum Graece, Nestle-Aland, 27th ed., 2001

# ⸀ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ⸀

1 III **1** Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ υἱοῦ Δαυὶδ υἱοῦ
Ἀβραάμ.
**2** Ἀβραὰμ ἐγέννησεν τὸν Ἰσαάκ, Ἰσαὰκ δὲ ἐγέννη-
σεν τὸν Ἰακώβ, Ἰακὼβ δὲ ἐγέννησεν τὸν Ἰούδαν καὶ
τοὺς ἀδελφοὺς αὐτοῦ, **3** Ἰούδας δὲ ἐγέννησεν τὸν Φά-
ρες καὶ τὸν ⸀Ζάρα ἐκ τῆς Θαμάρ, Φάρες δὲ ἐγέννησεν
τὸν Ἑσρώμ, Ἑσρὼμ δὲ ἐγέννησεν τὸν Ἀράμ, **4** Ἀρὰμ
δὲ ἐγέννησεν τὸν Ἀμιναδάβ, Ἀμιναδὰβ δὲ ἐγέννησεν
τὸν Ναασσών, Ναασσὼν δὲ ἐγέννησεν τὸν Σαλμών,
**5** Σαλμὼν δὲ ἐγέννησεν τὸν ⸀Βόες ἐκ τῆς Ῥαχάβ, ⸀Βόες
δὲ ἐγέννησεν τὸν Ἰωβὴδ ἐκ τῆς Ῥούθ, Ἰωβὴδ δὲ ἐγέν-
νησεν τὸν Ἰεσσαί, **6** Ἰεσσαὶ δὲ ἐγέννησεν τὸν Δαυὶδ
τὸν βασιλέα.
Δαυὶδ δὲ ⸆ ἐγέννησεν τὸν Σολομῶνα ἐκ τῆς τοῦ Οὐ-
ρίου, **7** Σολομὼν δὲ ἐγέννησεν τὸν Ῥοβοάμ, Ῥοβοὰμ δὲ
ἐγέννησεν τὸν ⸀Ἀβιά, ⸀Ἀβιὰ δὲ ἐγέννησεν τὸν ⸀Ἀσάφ,
**8** ⸀Ἀσὰφ δὲ ἐγέννησεν τὸν Ἰωσαφάτ, Ἰωσαφὰτ δὲ ἐγέν-
νησεν τὸν Ἰωράμ, Ἰωρὰμ δὲ ἐγέννησεν ⸆ τὸν Ὀζίαν,
**9** Ὀζίας δὲ ἐγέννησεν τὸν Ἰωαθάμ, Ἰωαθὰμ δὲ ἐγέν-
νησεν τὸν ⸀Ἀχάζ, ⸀Ἀχὰζ δὲ ἐγέννησεν τὸν Ἑζεκίαν,
**10** Ἑζεκίας δὲ ἐγέννησεν τὸν ⸀Μανασσῆ, ⸀Μανασσῆς δὲ
ἐγέννησεν τὸν ⸀¹Ἀμώς, ⸀¹Ἀμὼς δὲ ἐγέννησεν τὸν Ἰωσίαν,

18 Gn 5,1; 22,18
*2-17:* L 3,23-38 1 Chr 1,34 · Gn 25,26; · 29,35
*3-6a:* Rth 4,12. 18-22 · 1 Chr 2, 4 s.9 Gn 38,29 s
*4-6a:* 1 Chr 2, 10-12.15
Jos 2,1 H 11,31!
Rth 4,13-17
1 Sm 17,12
*6b-11:* 1 Chr 3,5. 10-16 2 Sm 12,24

*Inscriptio:* ⸀ευαγγελιον κ. Ματθ. (Μαθθ. W) D W $f^{13}$ 33 𝔐 bo ¦ αγιον ευ. κ. Μ. $f^{1}$ *al* (bo$^{ms}$) ¦ αρχη συν θεω του κ. Μ. ευ-ου 1241 *al* ¦ εκ του κ. Μ. L *al* ¦ *txt* (א B)

¶ **1,3** ⸀ Ζαρε 𝔓$^{1}$ B mae • **5** ⸀*bis* Βοοζ L (W) $f^{1.13}$ 𝔐 lat sy$^{p}$ ¦ Βοος C (D$^{luc}$) 33 *pc* g$^{1*}$ ¦ *txt* 𝔓$^{1}$ א B *l* 844. *l* 2211 k co • **6** ⸆ο βασιλευς C L W 33 𝔐 lat sy$^{h}$ ¦ *txt* 𝔓$^{1}$ א B Γ $f^{1.13}$ 579. 700 *pc* g$^{1}$ k vg$^{mss}$ sy$^{s.c.p}$ co • **7/8** ⸀*bis* Αβιουδ (D$^{luc}$) $f^{13}$ *pc* it sy$^{hmg}$ | ⸀*bis* Ασα L W 33 𝔐 (a) f ff$^{1}$ vg sy ¦ *txt* 𝔓$^{1vid}$ א B C (D$^{luc}$) $f^{1.13}$ 700. *l* 844. *l* 2211 *pc* it (sy$^{hmg}$) co | ⸆τον Οχοζιαν, Ο-ιας δε εγενν. τον Ιωας, Ι. δε εγενν. τον Αμασιαν, Α-ιας δε εγενν. (D$^{luc}$) sy$^{c}$ • **9** ⸀*bis* Αχας א (* -αζ$^{1}$) C (D$^{luc}$) g$^{1*}$ (k) q mae bo$^{ms}$ ¦ *txt* B L W Θ $f^{1.13}$ 33 𝔐 lat • **10** ⸀ Μ-σσην Δ (*l* 2211*) *pc* | ⸀ Μ-σση א$^{1}$ B | ⸀¹ *bis* Αμων L W $f^{13}$ 𝔐 lat sy mae ¦ *txt* א B C (D$^{luc}$) Γ Δ Θ $f^{1}$ 33 *pc* it vg$^{mss}$ sa bo